ἐν αὐτῇ καὶ φὺς καὶ τραφεὶς καὶ παιδευθεὶς καὶ τέλος ἐν τῇ πρὸς θεὸν μεταστάσει τὸ ἱερὸν σκῆνος ἀποδούς· γεννήτορες δὲ αὐτῷ Γεώργιός τε διάκονος καὶ σακελλίου τῆς μεγάλης ἐκκλησίας, ὃν ἡ μεγάλη πόλις τηνικαῦτα διπλοῦν ἐπλούτει καθηγεμόνα ἐπί τε τῆς ἐκκλησίας Χριστοῦ καὶ πλήθους νέων ἁπανταχόθεν εἰς αὐτὸν συρρεόντων, καὶ Μαρία Λουκᾶ σεμνοῦ τινος καὶ θεοφιλοῦς ἰατροῦ θυγατηρ· τὸ δὲ γένος ἀμφοῖν ἄνωθεν ἀκριβῶς θεωρούμενον πανταχόθεν εὐγενείᾳ τε καὶ πλούτῳ μετρίῳ καὶ κοσμικῇ λαμπρότητι μετὰ θεοσεβείας καὶ ἀρετῆς κοσμούμενον εὑρίσκεται. Ὅ γε μὴν παῖς τῇ τοῦ θείου πνεύματος ἀναγεννήσει Μανουὴλ τὴν προσηγορίαν (οὐδὲ γὰρ ἄλλην εἰκός) δέχεται· αὐτός τε γὰρ τῆς πρώτης καὶ δεσποτικῆς ἦν ἄξιος καὶ δι' αὐτοῦ μεθ' ἡμῶν ὁ θεὸς καὶ ἡ εὐσέβεια καὶ ἡ πατροπαράδοτος πίστις ὕστερον· τὸν δὲ πατέρα καὶ παιδευτὴν ἔχων μέχρι τῶν ῥητορικῶν μεταξὺ μαθημάτων, τοσοῦτον σοφίᾳ καὶ ἀρετῇ παρήλασε μετ' οὐ πολύ· καὶ γὰρ ἔφθη τῶν τῇδε μεταστὰς ὅσῳ πάντας τοὺς ἄλλους διαφερόντως ἐκεῖνος καὶ τὴν κοινὴν πατέρων εὐχὴν ὑπὸ παίδων ἡττᾶσθαι καλῶς ὑπέστη. Τοιούτου τοίνυν πατρὸς ἀπορφανισθεὶς ἐν τρισκαιδεκάτῳ τῆς ἡλικίας ἔτει, οὐ πρὸς ῥαστώνην καὶ ὁπωσοῦν ἰδεῖν κατεδέξατο, ἀλλὰ διδασκάλοις εὐθὺς προσέρχεσθαι προείλετο τοῖς ἀρίστοις καὶ ἐπισημοτάτοις· ἦσαν δ' οὗτοι πρῶτα μὲν ὁ Χορτασμένος Ἰωάννης, ὁ καὶ τὸν θρόνον ὕστερον τῆς ἐν Σηλυβρίᾳ κοσμήσας μητροπόλεως, Ἰγνάτιος μετακληθείς, ἐν δὲ τοῖς τελεωτέροις τῶν ἐγκυκλίων καὶ φιλοσόφων μαθημάτων ὁ Γεμιστὸς Γεώργιος, παρ' ὧν ἐν βραχεῖ χρόνῳ τὰ μέγιστα παρακερδάνας ἄκρᾳ τε σπουδῇ καὶ φερεπονίᾳ καὶ θαυμαστῇ εὐφυΐᾳ, εἶτα καὶ ἐν ἤθει χρηστῷ σεμνῷ καὶ μετρίῳ καὶ κατὰ τοὺς ἀγαθοὺς γέροντας μέχρι καὶ στολῆς τρόπου καὶ βαδίσματος καὶ βλέμματος καὶ νεύματος τοῦ λόγου φθάνοντος καὶ κοσμοῦντος ἐκεῖνον διαπρεπῶς, οὐ συμφοιτηταῖς ἦν μόνον, ἀλλ' ἤδη καὶ αὐτοῖς τοῖς καθηγεμόσι καὶ πᾶσιν ἁπλῶς θαῦμα προκείμενος. Οὕτω καλῶς καὶ θεοφιλῶς παραμείβων τὴν παιδικὴν ἡλικίαν, πᾶσι τοῖς σπουδαίοις ἔργοις θαυμασίως διήρκει, ποῦ μὲν διάδοχος ἤδη τοῦ πατρικοῦ φροντιστηρίου καὶ τῆς περὶ τοὺς νέους ἐπιμελείας γεγονὼς καὶ μέντοι καὶ πλείστους λογίους καὶ διδασκάλους ἤδη κατασκευάσας, ποῦ δὲ τῶν ἱερῶν ἐπὶ τῆς μεγάλης ἐκκλησίας συνάξεων καθ' ἑκάστην δι' ἔτους μὴ ἀπολιμπανόμενος καὶ πρὸς χειμῶνος καὶ θέρους ὥραν γενναίως διαμαχόμενος καὶ τὰ τῶν μοναχῶν ἐν ἔτι βιωτικῷ σχήματι προγυμναζόμενος καὶ ὅλος θεοφόρος καὶ πεφωτισμένος καὶ τῷ ὄντι φιλόσοφος ἐν ἁπαλῇ τῇ νεότητι καὶ ὢν καὶ φαινόμενος, ποῦ δ' ἐν παννυχίοις ἀγῶσιν ἐν ἑαυτῷ τὰ τῶν παλαιῶν σοφῶν ἐκμελετῶν τε καὶ ἀποθησαυρίζων καὶ μηδὲν μήτε τῆς θείας γραφῆς καὶ τῶν ἱερῶν διδασκάλων μήτε τῆς ἔξω σοφίας ἀθεώρητον ἐς τὸ πάντῃ ἀκριβὲς καταλελοιπώς. Ἐντεῦθεν καὶ τῷ ἀοιδίμῳ βασιλεῖ Μανουὴλ τῷ σοφῷ τε καὶ εὐσεβεῖ προσκληθείς, μὴ μόνον γνώριμος ἤδη καὶ οἰκεῖος καὶ φίλος, ἀλλὰ καὶ καθηγεμὼν ἐν πολλοῖς καὶ τῶν ἐκείνου συγγραμμάτων διορθωτὴς καταστάς, ἁπάσας σεμνὰς ὑπήνας τῶν καθ' ἡμᾶς λογίων ἀνδρῶν τῇ